[35]καὶ πῦρ ἐξῆλθεν παρὰ κυρίου καὶ κατέφαγεν τοὺς πεντήκοντα καὶ 35
διακοσίους ἄνδρας τοὺς προσφέροντας τὸ θυμίαμα.

[1]Καὶ εἶπεν κύριος πρὸς Μωυσῆν [2]καὶ πρὸς Ελεαζαρ τὸν υἱὸν 17
Ααρων τὸν ἱερέα Ἀνέλεσθε τὰ πυρεῖα τὰ χαλκᾶ ἐκ μέσου τῶν
κατακεκαυμένων καὶ τὸ πῦρ τὸ ἀλλότριον τοῦτο σπεῖρον ἐκεῖ, ὅτι
ἡγίασαν [3]τὰ πυρεῖα τῶν ἁμαρτωλῶν τούτων ἐν ταῖς ψυχαῖς αὐ- 3
τῶν· καὶ ποίησον αὐτὰ λεπίδας ἐλατάς, περίθεμα τῷ θυσιαστηρίῳ,
ὅτι προσηνέχθησαν ἔναντι κυρίου καὶ ἡγιάσθησαν καὶ ἐγένοντο
εἰς σημεῖον τοῖς υἱοῖς Ισραηλ. [4]καὶ ἔλαβεν Ελεαζαρ υἱὸς Ααρων 4
τοῦ ἱερέως τὰ πυρεῖα τὰ χαλκᾶ, ὅσα προσήνεγκαν οἱ κατακεκαυ-
μένοι, καὶ προσέθηκαν αὐτὰ περίθεμα τῷ θυσιαστηρίῳ, [5]μνημόσυ- 5
νον τοῖς υἱοῖς Ισραηλ, ὅπως ἂν μὴ προσέλθῃ μηθεὶς ἀλλογενής,
ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματος Ααρων, ἐπιθεῖναι θυμίαμα ἔναντι
κυρίου καὶ οὐκ ἔσται ὥσπερ Κορε καὶ ἡ ἐπισύστασις αὐτοῦ, καθὰ
ἐλάλησεν κύριος ἐν χειρὶ Μωυσῆ.

[6]Καὶ ἐγόγγυσαν οἱ υἱοὶ Ισραηλ τῇ ἐπαύριον ἐπὶ Μωυσῆν καὶ 6
Ααρων λέγοντες Ὑμεῖς ἀπεκτάγκατε τὸν λαὸν κυρίου. [7]καὶ ἐγένετο 7
ἐν τῷ ἐπισυστρέφεσθαι τὴν συναγωγὴν ἐπὶ Μωυσῆν καὶ Ααρων
καὶ ὥρμησαν ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τήνδε ἐκάλυψεν
αὐτὴν ἡ νεφέλη, καὶ ὤφθη ἡ δόξα κυρίου. [8]καὶ εἰσῆλθεν Μωυσῆς 8
καὶ Ααρων κατὰ πρόσωπον τῆς σκηνῆς τοῦ μαρτυρίου, [9]καὶ ἐλά- 9
λησεν κύριος πρὸς Μωυσῆν καὶ Ααρων λέγων [10]Ἐκχωρήσατε ἐκ 10
μέσου τῆς συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς εἰς ἅπαξ.
καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν. [11]καὶ εἶπεν Μωυσῆς πρὸς Ααρων 11
Λαβὲ τὸ πυρεῖον καὶ ἐπίθες ἐπ᾽ αὐτὸ πῦρ ἀπὸ τοῦ θυσιαστηρίου
καὶ ἐπίβαλε ἐπ᾽ αὐτὸ θυμίαμα καὶ ἀπένεγκε τὸ τάχος εἰς τὴν παρεμ-
βολὴν καὶ ἐξίλασαι περὶ αὐτῶν· ἐξῆλθεν γὰρ ὀργὴ ἀπὸ προσώπου
κυρίου, ἦρκται θραύειν τὸν λαόν. [12]καὶ ἔλαβεν Ααρων, καθάπερ 12
ἐλάλησεν αὐτῷ Μωυσῆς, καὶ ἔδραμεν εἰς τὴν συναγωγήν· καὶ ἤδη
ἐνῆρκτο ἡ θραῦσις ἐν τῷ λαῷ· καὶ ἐπέβαλεν τὸ θυμίαμα καὶ ἐξι-
λάσατο περὶ τοῦ λαοῦ [13]καὶ ἔστη ἀνὰ μέσον τῶν τεθνηκότων 13
καὶ τῶν ζώντων, καὶ ἐκόπασεν ἡ θραῦσις. [14]καὶ ἐγένοντο οἱ τε- 14
θνηκότες ἐν τῇ θραύσει τέσσαρες καὶ δέκα χιλιάδες καὶ ἑπτακόσιοι
χωρὶς τῶν τεθνηκότων ἕνεκεν Κορε. [15]καὶ ἐπέστρεψεν Ααρων πρὸς 15
Μωυσῆν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐκόπασεν
ἡ θραῦσις.

[16]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [17]Λάλησον τοῖς 16 17
υἱοῖς Ισραηλ καὶ λαβὲ παρ᾽ αὐτῶν ῥάβδον ῥάβδον κατ᾽ οἴκους

17 3 τοις υιοις] pr. εν A || 5 προσελθητε B*† | εν χειρι μωυση] > B*†, + αυτω $B^c$ || 6 ισραηλ τη > B*† | επαυριον] επ > $B^r$ || 12 ενηρκται B* | και επεβαλεν] pr. και ελαβεν A || 13 fin.] + εν τω λαω B*†